**ΕΙΣΑΓΩΓΗ ΣΤΗΝ ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΗ ΕΠΙΓΡΑΦΙΚΗ**

**Σοφία Ανεζίρη**

**Θέματα προαιρετικών εργασιών**

Να συγκροτήσετε ένα επιγραφικό λήμμα σύμφωνα με το αρχείο περί επιγραφικού λήμματος που έχει αναρτηθεί στο e-class για όποια επιγραφή επιλέξετε από τις παρακάτω.

**1. Ψήφισμα σχετικό με θυσίες, Ελευσίνα**

*IG* Ι³ 5

[ἔδοχσε]ν [⁝ τε͂ι βολε͂ι] ⁝ καὶ [τ]ο͂ι δέμοι ⁝ *h*ọ́τε Παραιβάτες̲ [⁝ ἐγραμμάτευε] vac.
[προτέ]λεια ⁝ θ̣[ύε]ν ⁝ τὸς *h*ιεροποιὸς ⁝ Ἐλευσινίον ⁝ καὶ [τἆλλα ⁝ ἐς τὲν ἑορτὲ]ν
[τὲν Ἐλ]ευσῖν̲[ι ⁝ Γ]ε͂ι ⁝ *h*ερμε͂ι Ἐναγονίοι ⁝ Χάρισιν ⁝ αἶγα ⁝ [πρὸ το͂ν Ἐλευσινί]ον
[Ποσειδ]ο͂νι ⁝ [κριὸ]ν ⁝ Ἀρτέμιδι ⁝ αἶγα ⁝ Τελεσιδρόμοι ⁝ Τρ̣ι̣π̲[τολέμοι κριόν]
[Πλούτο]ṇι ⁝ Δ[ολί]χοι ⁝ θεοῖν ⁝ τρίττοαν ⁝ βόαρχον ⁝ ἐν τε͂ι ἑορ[τε͂ι vacat]
vacat 0.085

**2. Ψήφισμα για την ίδρυση της αποικίας της Βρέας, Αθήνα**

*IG* Ι³ 46

νε[……………33…………….]
ελι[……………32……………]
αρχ[……………32……………]
ΝΛ̣[……………33…………….]
[……..18……..]ε π̣ρὸς *h*ὲν ἂν φα[ίνει ἒ]
[γράφεται, ἐσ]αγέτο. ἐὰν δὲ ἐσάγει ἐνεχ[..5..]
[…7…] *h*ο φένας ἒ *h*ο γραφσάμενος. πο[..5..]
[..6…]ν αὐτοῖς παρασχόντον *h*οι ἀπ[οικιστ]-
[αὶ καλλ]ιερε͂σαι *h*υπὲρ τε͂ς ἀποικίας, [*h*οπόσα]
[ἂν αὐτο]ῖς δοκε͂ι. γεονόμος δὲ *h*ελέσθ[αι δέκα]
[ἄνδρας], ἕνα ἐχ φυλε͂ς· *h*οῦτοι δὲ νεμάντ[ον τὲν]
[γε͂ν. Δεμ]οκλείδεν δὲ καταστε͂σαι τὲν ἀ[ποικί]-
[αν αὐτο]κράτορα, καθότι ἂν δύνεται ἄ[ριστα. τ]-
[ὰ δὲ τεμ]ένε τὰ ἐχσειρεμένα ἐᾶν καθά[περ ἐστ]-
[ί, καὶ ἄλ]λα μὲ τεμενίζεν. βοῦν δὲ καὶ π̣[αν*h*οπλ]-
[ίαν ἀπά]γεν ἐς Παναθέναια τὰ μεγάλ[α καὶ ἐς Δ]-
[ιονύσι]α φαλλόν. ἐὰν δέ τις ἐπιστρα[τεύει ἐπ]-
[ὶ τὲν γε͂]ν τὲν το͂ν ἀποίκον, βοεθε͂ν τὰ[ς πόλες *h*]-
[ος ὀχσύ]τατα κατὰ τὰς χσυγγραφὰς *h*α̣[ὶ ἐπὶ ..]
[..6…]το γραμματεύοντος ἐγένον[το περὶ τ]-
[ο͂ν πόλε]ον το͂ν ἐπὶ Θράικες. γράφσαι δ[ὲ ταῦτα]
[ἐν στέλ]ει καὶ καταθε͂ναι ἐμ πόλει· πα[ρασχόν]-
[τον δὲ τ]ὲν στέλεν *h*οι ἄποικοι σφο͂ν α[ὐτο͂ν τέ]-
[λεσιν. ἐ]ὰν δει τις ἐπιφσεφίζει παρὰ τὲ[ν στέλ]-
[εν ἒ ῥρέ]τορ ἀγορεύει ἒ προσκαλε͂σθα[ι ἐγχερ]-
[ε͂ι ἀφαι]ρε͂σθαι ἒ λύεν τι το͂ν *h*εφσεφι[σμένον],
[ἄτιμον] ε͂ναι αὐτὸν καὶ παῖδας τὸς ἐχς [ἐκένο]

[καὶ τὰ χ]ρέματα δεμόσια ἐ͂ναι καὶ τε͂ς [θεο͂ τὸ ἐ]-
[πιδέκα]τον, ἐὰμ μέ τι αὐτοὶ *h*οι ἄποικ[οι ....]
[.... δέ]ονται ∷ *h*όσοι δ' ἂν γράφσοντα[ι ἐποικ]-
[έσεν το͂]ν στρατιοτο͂ν, ἐπειδὰν *h*έκοσ[ι Ἀθένα]-
[ζε, τριά]κοντα ἑμερο͂ν ἐμ Βρέαι ἐ͂ναι ἐπ̣[οικέσ]-
[οντας. ἐ]χσάγεν δὲ τὲν ἀποικίαν τριάκ̣[οντα ἑ]-
[μερο͂ν. Α]ἰσχίνεν δὲ ἀκολουθο͂ντα ἀπο[διδόνα]-
[ι τὰ χρέ]ματα vacat
[Φ]αντοκλε͂ς εἶπε· περὶ
[μ]ὲν τε͂ς ἐς Βρέαν ἀποι-
[κ]ίας καθάπερ Δεμοκλ-
[ε]ίδες εἶπε· Φαντοκλέ-
[α] δὲ προσαγαγε͂ν τὲν Ἐ-
[ρ]εχθεΐδα πρυτανεία-
[ν] πρὸς τὲν βολὲν ἐν τε͂-
[ι] πρότει *h*έδραι· ἐς δὲ
[Β]ρέαν ἐχ θετο͂ν καὶ ζε-
[υ]γιτο͂ν ἰέναι τὸς ἀπο-
[ί]κος.

**3. Ψήφισμα για τη συλλογή του συμμαχικού φόρου, Αθήνα**

*IG* I$^3$ 34

θεοί·
ἔδοχσεν τε͂ι βολ[ε͂ι καὶ το͂ι] δέ-
μοι· Οἰνεὶς ἐπρυ̣[τάνευε, Σπ]ου-
δίας ἐγραμμάτε[υε, ..6...]ον
ἐπεστάτε, Κλενί[ας εἶπε· τὲ]μ β-
ολὲν καὶ τὸς ἄρχ[οντας ἐν] τε͂σ-
ι πόλεσι καὶ τὸς [ἐπισκό]πος ἐ-
πιμέλεσθαι *h*ό[πος ἂν χσ]υλλέ-
γεται *h*ο φόρος κ[ατὰ τὸ ἔ]τος *h*-
έκαστον καὶ ἀπά[γεται] Ἀθένα-
ζε· χσύμβολα δὲ π[οιέσα]σθαι π-
ρὸς τὰς πόλες, *h*ό[πος ἂ]μ μὲ ἐχσ-
ε͂ι ἀδικε͂ν τοῖς ἀ[πάγο]σι τὸμ φ-
όρον· γράφσασα δ[ὲ *h*ε] πόλις ἐς
γραμματεῖον τὸ[μ φό]ρον, *h*όντιν' ἂν ἀποπέμπει, σεμε-
ναμένε τοῖ συμβ[όλο]ι ἀποπεμπέτο Ἀθέναζε· τὸς δὲ ἀ-
πάγοντας ἀποδο͂[ναι] τὸ γραμματεῖον ἐν τε͂ι βολε͂ι ἀ-
ναγνο͂ναι *h*όταμ[πε]ρ τὸμ φόρον ἀποδιδο͂σι· *h*οι δὲ πρ-
υτάνες μετὰ Διο[νύ]σια ἐκκλεσίαν ποιεσάντον τοῖ-
ς *h*ελλενοταμία[σι ἀ]ποδεῖχσαι Ἀθεναίοις το͂μ πόλ-
εον τὰς ἀποδόσα[ς τὸμ φόρον ἐ]ντελε͂ καὶ τὰς ἐλλιπό-
σας χορίς, *h*όσαι [ἄν τινες ο͂σιν· Ἀθ]εναίος δὲ *h*ελομέ-
νος ἄνδρας τέττ[αρας ἀποπέμπεν ἐπὶ] τὰς πόλες ἀντ-
ιγραφσομένος τ[ὸμ φόρον τὸν ἀποδοθέντα κα]ὶ ἀπαι-
τέσοντας τὸμ μ̣ὲ [ἀποδοθέντα παρὰ το͂ν ἐλλιποσ]ο͂ν, τ-
ὸ μὲν δύο πλε͂ν ἐπ̣[ὶ τὰς ἐπὶ Νέσον καὶ ἐπ' Ἰονίας ἐπὶ] τ-
ριέρος ταχείας, [τὸ δὲ δύο ἐπὶ τὰς ἐφ' Ἑλλεσπόντο κα]-

ὶ ἐπὶ Θράικες· ἐ[σάγεν δὲ ταῦτα τὸς πρυτάνες ἐς τὲμ]
βολὲν καὶ ἐς τὸ[ν δε͂μον εὐθὺς μετὰ Διονύσια καὶ βο]-
λεύεσθαι περὶ τ[ούτον χσυνεχο͂ς *h*έος ἂν διαπραχθ]-
ε͂ι· ἐὰν δέ τις Ἀθ[εναῖος ε͂ χσύμμαχος ἀδικε͂ι περὶ τὸ]-
ν φόρον, *h*ὸν δεῖ [τὰς πόλες γραφσάσας ἐς γραμματεῖ]-
ον τοῖς ἀπάγοσ̣[ιν ἀποπέμπεν Ἀθέναζε, ἔστο αὐτὸν γ]-
ράφεσθαι πρὸς [τὸς πρυτάνες το͂ι β]ολομένο[ι Ἀθενα]-
ίον καὶ το͂ν χσ[υμμάχον· *h*οι δὲ πρυτά]νες ἐσαγ̣[όντον]
ἐς τὲμ βολὲν [τὲν γραφὲν *h*έν τι]ς ἂγ γράφσετα̣[ι ε͂ εὐθ]-
υνέσθο δόρο[ν μυρίαισι δραχμ]ε͂σ̣[ι *h*]έκαστος· [*h*ο͂ δ' ἂν]
καταγνο͂ι *h*[ε βολέ, μὲ τιμᾶν αὐτ]ο̣͂ι κ̣υρία ἔστο [ἀλλ' ἐσ]-
φερέτο ἐς τ[ὲν ἐλιαίαν εὐθύ]ς̣· ὅ̣ταν δὲ δόχσει [ἀδικε͂]-
ν, γνόμας πο[ιέσθον *h*οι πρυ]τ̣άν̣ες *h*ό τι ἂν δοκ[ε͂ι αὐτ]-
ὸμ παθε͂ν ε͂ ἀ[ποτεῖσαι· καὶ ἐ]άν τις περὶ τὲν ἀπα̣[γογὲ]-
ν τε͂ς βοὸς ε͂ [τε͂ς παν*h*οπλία]ς ἀδικε͂ι, τὰς γραφὰ̣[ς ε͂να]-
ι κατ' αὐτο͂ κ̣[αὶ τὲν ζεμίαν κ]ατὰ ταὐτά· τὸς δὲ [*h*ελλεν]-
ο[ταμίας ἀναγράφσαντας ἐ]ς πινάκιον λελ[ευκομέν]-
[ον ἀποφαίνεν καὶ τὲν τάχσι]ν το͂ φόρο κα̣ὶ [τὰς πόλες]
[*h*όσαι ἂν ἀποδο͂σιν ἐντελε͂ κα]ὶ ἀπογ̣[ράφεν ...7...]
c. 10 vv. desunt
frg. c.57
[....9....· χρεματίσαι δὲ καὶ τὲμ] βολὲν τὲν ἐσι[ο͂σ]-
[αν περὶ το͂ν ἀπαγόντον τὸμ φόρον· *h*]όσοι δὲ το͂ν ἀπα[γ]-
[όντον Ἀθέναζε ἐς τὸ πινάκιον ἀν]αγεγράφαται ὀφέ-
[λοντες ἐν τε͂ι βολε͂ι, τὲμ βολὲν ἐπ]ιδεῖχσαι το͂ι δέμ-
[οι κατὰ τὲν πόλιν *h*εκάστεν· ἐὰν δ]έ τις το͂μ πόλεον ἀ-
[μφισβετε͂ι περὶ το͂ φόρο τε͂ς ἀποδ]όσεος, φάσκοσα ἀπ-
[οδεδοκέναι .......16.......]θαι τὸ κοινὸν τε͂ς
[πόλεος· .........20.........]ας τὰς πόλες καὶ τ-
[.........20......... γράφεσ]θαι δὲ μὲ ἐχσε͂ναι
[.......16......., το͂ δὲ γραφέν]τος ὀφελέτο *h*ο γρ-
[αφσάμενος τὲν τιμὲν ἐὰν φεύγει]· τὲν δὲ γραφὲν ε͂να-
[ι πρὸς τὸν πολέμαρχον μενὶ Γαμε]λιο͂νι· ἐὰν δέ τις ἀ-
[μφισβετεῖ .......17........]κλέσες, *h*ε βολὲ βο-
[λευσαμένε .......17........], ἐσαγόντον δὲ *h*οι
[ἐσαγογε͂ς ἐς τὲν ἐλιαίαν τὸς Ἀθε]ναίοις τὸμ φόρον
[ὀφέλοντας *h*εχσε͂ς κατὰ τὸμ πίνα]κα τε͂ς μενύσεος· ἐ-
[.........21......... το͂ νέο] φόρο καὶ το͂ περυσ-
[ινο͂ .....12.....· τὲν δὲ βολὲν π]ροβολεύσασαν ἐχ-
[σενεγκε͂ν ........18........] πέρι τε͂ι *h*υστερα-
[ίαι ἐς τὸν δε͂μον· .....12..... τ]ε͂ς *h*αιρέσεος χρε-
[ματίσαι — — — — — — — — — — — — —] vacat

**4. Ψήφισμα του σωματείου των Αμφιεραϊστών, Ραμνούς**

*IG* II$^{2}$ 1322

Θεότιμος Θεοδώρου Ῥαμνούσιος εἶπεν· ἐπειδὴ Διοκλῆς συνῆ-
χε τῶι Ἀμφιαράωι σύνοδον, τὸ δὲ ἱερὸν συνβαίνει προσδεῖσθαι
ἐπισκευῆς καὶ τόν τε οἶκον ἄθυρον εἶναι καὶ τὸν κέραμον κατε-

αγέναι, καταπεπτωκέναι δὲ καὶ τοῦ τοίχου τὸ μέρος τοῦ κατ-
à τὸν ὅλμον καὶ τὴν τράπεζαν τοῦ θεοῦ κατεαγέναι καὶ τὸ
πρόστωιον κινδυνεύειν καταπεσεῖν, εἰς δὲ τὴν ἐπισκευ-
ὴν τούτων πάντων βούλεσθαι τοὺς συνεληλυθότας εἰσε-
νεγκεῖν καθότι ἕκαστος δυνατός ἐστιν, ὅπως ἂν ἐπι-
σκευασθέντων τούτων τῶι θεῶι ἔχωσι χρᾶσθαι κοινεῖ πάν-
τες οἱ βουλόμενοι τῶι ἱερῶι· v ἀγαθεῖ τύχει δεδόχθαι τοῖς
Ἀμφιεραϊσταῖς ἐπιδοῦναι μὲν ἕκαστον εἰς τὴν ἐπισκευὴν
τοῦ ἱεροῦ ὅσον ἂν βούληται, τῶν δ’ ἐπιδόντων ἀναγράψαι τὰ
ὀνόματα ἐν στήλει λιθίνει καὶ στῆσαι παρὰ τὸν θεόν· ἀνα-
γράψαι δὲ καὶ Μνησικλείδην ἐπειδὴ συνεπισκευάζει μετ’ αὐ-
τῶν τὸ ἱερόν· ἐπαινέσαι δὲ καὶ Ὀνησιμίδην Ῥαμνούσιον
καὶ στεφανῶσαι αὐτὸν θαλλοῦ στεφάνωι, ἐπειδὴ καὶ οὗτος
ἀνατέθηκε τῶι θεῶι τὰς αἱμασιὰς ὅπου ὁ λάκκος ἐστὶν
καὶ δέδωκε τὴν πρόσοδον τοῖς Ἀμφιεραϊσταῖς τοῖς μετὰ
Διοκλέου Ἀμαξαντέως, καὶ θύειν κατ’ ἐνιαυτὸν ἀπὸ τῆς προ-
σόδου τῆς γινομένης καὶ ἀναγράψαι καὶ τοῦτον ἐπὶ τὴν
στήλην· ἐπαινέσαι δὲ καὶ τὸν ἀρχερανιστὴν Διοκλῆν Δίωνος
Ἀμαξαντέα καὶ τὸν γραμματέα Καλλιτέλην Καλλίου Λαμ-
πτρέα καὶ τὸν ταμίαν Ἀρχέστρατον Αἰσχίνου Ἐρχιέα καὶ
στεφανῶσαι καὶ τούτων ἕκαστον θαλλοῦ στεφάνωι φιλο-
[τι]μίας ἕνεκα καὶ δικαιοσύνης τῆς εἰς ἑαυτούς· καὶ ἐπι-
[μελ]ηθῆναι τῆς ἀναθέσεως καὶ ἀναγραφῆς τοῦ ψηφίσμα-
[τος τοὺ]ς αὐτοὺς τούτους καὶ αὐτοὺς ἀποδοῦναι. οἱ ἀνοικο-
[δομοῦντες] τῶι κοινῶι·
Διοκλῆς Ἀμαξαντεύς
Ἀντίμαχος Οἰναῖος
Καλλιτέλης Λαμπτρεύς
Ἀγαθοκλῆς Χολαργεύς
Νεοπείθης Κολωνῆθεν
Τιμοκλείδης Ἕρμειος
Ἀρχέστρατος Ἐρχιεύς
Πάμφιλος Κεφαλῆθεν
Θεότιμος Ῥαμνούσιος
Θεογένης Ῥαμνούσιος
Ἀλεξικράτης Ἀναφλύστιος
Ἀγαθοκλῆς Ἐπιεικίδης
Εὔφρων Ἀναγυράσιος
——— ων Ἀστακηνός
Με[γ]α[κλ]ῆς? Εἰτεαῖος
Ἰάσων Χολα[ργεύ]ς
Δ[η]μοκρ[ά]της ——— ος
[Θ]ε[ό]κ[ριτ]ος Λαμπτρεύς
Μνησικλείδης Ἰκαριεύς
Ἀρί[σ]των Χολαργεύς
Ἀρχέβιος Ἀναγυράσιος
Διονυσόδωρος Χολαργεύς
Μενεκράτης Πιθεύς
Ὀ[ν]ησιμίδης
Ῥαμ[ν]ούσιος

Διοκλῆς
Ἀμαξαντεύς.

## 5. Ανάθεση χρημάτων και γης, Πόρος

*IG* IV 841
σ[— — — — — — — — — — — — καὶ τᾶν θυγατέρω]-
ν {$^{27}$[τῶν υἱῶ]|ν?}$^{27}$ Ἀρισ[τ— — καὶ — — — — — — τῶι Π]-
οσειδᾶν[ι — — — — — — — — — — — — — — — — — — — —]
α Εὐκλείαι̣ [— — — — — — — — — — — τοὺς ἐγγ(?)]-
αίους ἀφ’ ἕω κα[τὰ — — — — — — — — — — — — — — —]
καὶ Νικαγόρα Σωτ[— — — — — — — — — — — — — — —]
ίς, Λαοδίκα, Διονυσία, [— — — — — — — — — — — κ]-
αὶ εἴ τινάς κα ἀφῆ<ι> ἐλευ[θέρας Ἀγασικλῆς]
ἢ Νικαγόρα, μετεῖμεν Δαμ[— — — — — — — — τοῦ]
Θεαρίχου. *vacat*
ἐπὶ ταμία Σωφάνεος τοῦ Πολι[— — —, μη]-
νὸς Γεραιστίου, ἔδοξε τοῖς πολίτ̣[αις περὶ τ]-
οῦ ἀργυρίου καὶ τοῦ χωρίου οὗ ἀνέθηκ̣[αν Ἀ]-
γασικλῆς καὶ Νικαγόρα τῶι Ποσειδᾶνι· ἐπ̣[ιμε]-
λητὰς καταστᾶσαι δύο οἵτινες τό τε ἀργύ-
ριον ἐκδανεισοῦντι κατὰ δραχμὰς τριάκο-
ντα ἐπ’ ἐνγύοις ἢ ὑποθήκαις ἀρεστοῖς τοῖ[ς]
ἐπιμεληταῖς καὶ τὸ χωρίον ἐκδωσοῦντι δωτ-
ίνας μετὰ τᾶς ἐκκλησίας κατὰ συνγραφάν,
καὶ πράξαντες τὸ διάφορον τοῦ ἀργυρίου καὶ τὰ-
ν δωτίναν τὰν ἐκ τοῦ χωρίου θυσοῦντι τῶι Π-
οσειδᾶνι ἱερεῖον τέλειον καὶ τῶι Διὶ τῶι σωτῆ-
ρι ἱερεῖον τέλειον, βωμὸν ἑσσάμενοι πρὸ τᾶν ε-
ἰκόνων αὐτῶν τᾶν ποὶ [τ]ῶι βουλευτηρίωι· τὰν
δὲ θυσίαν ποιησοῦντι, καθὼς ἐν τᾶι στάλαι γέγ-
ραπται, κατ’ ἐνιαυτόν, καὶ τὰ λοιπὰ ἐπιμελησοῦν-
ται ὡς ὅτι χαριέστατα καὶ εὐθύνους εἰσοισοῦν-
τι τᾶι πράται ἁμέραι ἐπὶ ταῖς σπονδαῖς καὶ λόγ-
ον ἀποδωσοῦντι τοῖς αἱρεθεῖσιν εὐθύνοις τᾶι
ἐπεχὲς ἁμέραι καὶ ποτομοσοῦνται τὸν Δία τὸν Σ-
ωτῆρα, εἶ μὰν μηθὲν νοσφίζεσθαι. ἐπὶ δὲ τὰν σπ-
ονδὰν αἱρείσθωσαν τοὺς ἐπιμελητὰς εἰς τὸν ἐ-
πεχὲς ἐνιαυτὸν τᾶι πράται ἁμέραι.

## 6. Όρος ιεράς γης, Θεσπιές

*I.Thespies* 61
Φιλέτηρος Ἀτ-
τάλω Περγα-
μεὺς ἀνέθει-
κε τὰν γᾶν τοῖ
Ἑρμῆ ἐν τὸ ἐ-
λῃοχρίστιον
ἱαρὰν εἶμεν

ἐν τὸν ἅπαντα
χρόνον.

**7. Όρος ιεράς γης, Θήρα**

*IG* XII 3, 436 + Suppl. p. 87

οὖροι γᾶς
Θεῶν Ματρί.
θεὸς ἀγαθᾶι τ-
ύχαι ἀγαθοῦ δ-
αίμονος. θυσία
Ἀρχίνου· τῶι ἔτ-
ει τῶι πρατίστ-
ωι θύσοντι βοῦ-
ν καὶ πυρῶν ἐγ
μεδίμνου καὶ
κριθᾶν ἐγ δύο μ-
εδίμνων καὶ οἴνο-
υ μετρητὰν και ἄλλα
ἐπάργματα ὧν αἱ ὧρ-
αι φέρουσιν, μηνὸς Ἀρτε-
μισίου πέμπται ἱσταμ-
ένου καὶ μηνὸς Ὑακινθίο-
υ πέμπται ἱσταμένου.

**8. Επιστολή Άτταλου I, Πέργαμον**

*I.Pergamon* 40

[ὁ δ’ ἀεὶ] λ̣αχὼν φορείτω
[χ]λαμύδα λευκὴν καὶ σ[τέ]-
φανον ἐλάας μετὰ ταιν[ι]-
δίου φοινικιοῦ καὶ λαμβα-
νέτω τῶν θυομένων γέ-
ρα τὸ δέρμα καὶ κωλέαν
καὶ τῶν ἐργαστηρίων ὧν
ἀνατέθηκα τὴν πρόσο-
δον· μισθούτω δ’ ἀεὶ ὁ λα-
χών, ἐπεσκευασμένα
δὲ παραδιδότω ὁ ἐξι-
ὼν ἢ ἀποτινέτω τὸ γε-
νόμενον εἰς τὴν ἐπι-
σ̣κευὴν δαπάνημα.
ἀφείσθω δὲ καὶ τῶν λη-
τουργιῶν πασῶν, ὃν ἂν
χρόνον ἔχηι τὸν στέ-
φανον. τὰ δὲ ἀργυρώμα-
τα τοῦ θεοῦ καὶ τὰ ἄλ-
λα ἀναθέματα τηρή-
σας τῶι εἰσιόντι παρα-
διδότω. ἔρρωσο.

## 9. Ψήφισμα σχετικό με δωρεά, Ιασός (Καρία)

*I.Iasos* 245

τοισιο[—]δ[—]ε[— ἐὰν] δὲ μὴ ἐπιτελέσωσιν τὰς [θ]υσίας καὶ [τὸ δ]ε[ῖπνον] ὡς προγέγραπται, ἢ μὴ δῶσιν τὰ γέρ[α τὰ] διατεταγμένα ὧι ἐπιτέτακται, ἢ μ[ε]τενέγκω[σιν] τὸ διάφορον εἰς ἕτερόν τι, ἢ διέλωσιν τὴν πρόσ[οδ]ον τοῦ διαφόρου ἢ τὸ ἀρχαῖον, ἀποτεισάτω ἕκαστος τῶν αἰτίων τῶι ἀναθέντι τὸ διάφορον δραχμὰς τρισχιλίας΄ παθόντος δέ τι αὐτοῦ, ἐὰμ μὴ ἐπιτελέσωσιν οἱ διοικηταὶ τὰ ἐπιτεταγμένα, ἀποτεισάτωσαν τὸ αὐτὸ πρόσ[τι]μον τοῖς κληρονόμοις τοῖς Φαινίππου, τῆς πρά[ξεω]ς [οὔσ]ης κατ’ αὐτῶν καθάπερ ἐγ δίκης΄ μεταλλ[άξαντο]ς δὲ Φαινίππου οἱ διοικηταὶ οἱ τότε ὄντες ἀποδόσθωσαν ἱερωσύνην ἐπὶ τοῖς προγεγραμμένοις, ἐφ’ ὧι δοθήσ[εται τ]ῶι ἀγοράσαντι αὐτὰ τὰ γέρα κα[θότι] καὶ Φαινί[ππωι ἐ]δίδοτο ἕως ζωῆς τῶι πριαμέν[ωι΄ ὡς δ]ὲ καὶ ἐπὶ τ[οῦδε τοῦ] μνημείου ἐν ὧι ἂν ταφ[ῆι] Φαίνιππο[ς καθ’ ἕκα]στον ἔτος ἐν τῶι μηνὶ τῶι Φυλλιῶνι τῆι δωδ[εκάτηι ἡ ἐ]πιφορὰ γίνη[τ]αι, καὶ ὑπὸ τῶν πρεσβυτέρων ἀ[ποδεικνύμ]ενοι διοικηταὶ ἀ̣[ναλώσου]σιν ἀπὸ τῶν προσόδ[ων δραχμ]ὰς δ[εκ]απέ[ντε·] καὶ θυσίαν ἐπιτελεσά[τωσαν παρ]ό̣ντ[ος τοῦ] γυμνασιάρχου ἐπὶ τοῦ μνη[μείου΄ ἡ δὲ π]ρόσοδος γ[ενήσεται] ἀπὸ τῶν ἀνα[θέντων] χρημάτων΄ [ὡς δὲ καὶ ἡ] <θ>[υσία συν]τελῆτα[ι καὶ παρα]σταθέντων [εἰς] [τὴν θυ]σίαν επ[— ἱερεί]ων ὑϊκῶν τελε[ίων ὑπὸ] [τ]ῶν διοικ[ητῶν ἡ εὐ]<ωχ>ία γίν<η>ται [κ]α̣ὶ γ<έ>[ρας διδῶ][ται το]ῖς πρε[σβυτέροις ἐπὶ] τοῦ μνημείου τῆι δωδε[κάτηι τ]οῦ Φυλλι[ῶνος, διδῶ]ται δὲ γέρας κατὰ τὸ [αὐτὸ] [καὶ τ]ῶι πρια[μένωι τὴν ἱερωσ]ύνην ἑνὸς ἱερείου καὶ τῶν [ἐπὶ τοῦ] μνημεί[ου θυομένων· κ]ατὰ τὰ αὐτὰ δέ τινες [—] [—]ντοε[—]ρον[—]ς ἡ δ[ὲ] δια[γρα]φὴ [—] [—]αφ[—]ωι[—] [—]ο[—]αιρ[—]σαι[—]

## 10. Δωρέα του Ποσειδώνιου σε οικογενειακό σωματείο, Αλικαρνασσός

*CGRN* 104

I. ἀποσ̣[τ]είλαντος Πο̣[σ]ειδω̣[νίο]υ̣ χρησάσ̣[θα]ι τῷ Ἀπόλλωνι, τί ἂν αὐτῷ τε καὶ τοῖς ἐξ αὐτοῦ γινομένοις καὶ οὖσιν, ἔκ τε τῶν ἀρσένων καὶ τῶν θηλειῶν, εἴη λῶϊον καὶ ἄμεινον ποιοῦσιν καὶ πράσσουσιν, ἔχρησεν ὁ θεός, ἔσεσθαι λῶϊον καὶ ἄμεινον αὐτοῖς ἱλασκομένοις καὶ τιμῶσιν, καθάπερ καὶ οἱ πρόγονοι, Δία Πατρῶϊον καὶ Ἀπόλλωνα Τελεμεσσοῦ μεδέοντα καὶ Μοίρας καὶ Θεῶν Μητέρα΄ *ν* τιμᾶν δὲ καὶ ἱλάσκεσθαι καὶ Ἀγαθ$^{ο}$ν Δαίμονα Ποσει-

δωνίου καὶ Γοργίδος΄ τοῖς δὲ ταῦτα διαφυλάσσουσιν καὶ ποιοῦσιν ἄμεινον ἔσεσθαι. *vacat*

II. Ποσειδώνιος Ἰατροκλέους ὑπέθηκεν τοῖς ἐξ ἑαυτοῦ καὶ τοῖς ἐκ τούτων γινομένοις, ἔκ τε τῶν ἀρσένων *v* καὶ τῶν θηλειῶν, καὶ τοῖς λαμβάνουσιν ἐξ αὐτῶν, [εἰ]ς θυσίαν οἷς ὁ θεὸς ἔχρησεν, ἀγρὸν τὸν ἐν Ἀστυπ̣α̣λαίαι τὸν ὁμο̣υ̣ροῦντα Ἄνθει καὶ Δαμαγήτωι, [κ]αὶ τὴν αὐλὴν καὶ τὸν κῆπον καὶ τὰ περὶ τὸ μνημεῖον [κ]αὶ τοῦ ἐν Ταρά[[μπ]]τωι ἐνηροσίου τὸ ἥμυσυ. καρπευ[έ]τω δὲ καὶ ἱερατευέτω τῶν ἐκγόνων τῶν ἐκ Ποσειδωνίου ὁ πρεσβύτατος ὢν ἀεὶ κατ’ ἀνδρογένειαν, *v* ἀποδιδοὺς κατ’ ἐνιαυτὸν χρυσοῦς τέσσαρας ἀτελέας III. ⊏ ἔδοξεν Ποσ[[ει]]δωνίωι καὶ τοῖς ἐκγόνοις τοῖς ἐκ Ποσειδωνίου καὶ τοῖς εἰληφόσιν ἐξ αὐτῶν αἱρεῖ- *v* σθαι ἐπιμηνίους ἐξ ἑαυτῶν τρεῖς κατ’ ἐνιαυτό[ν], *vv* οἵτινες ἀπολαμβάνοντες τῆς ὑποθήκης π[αρ]ὰ [τοῦ] ἱερέως ἑκάστου ἐνιαυτοῦ μηνὸς Ἐλευθερίου [χ]ρυσ[οῦς] τέσσ[α]ρας συντελέσουσιν τὰς θυσίας· ἂν δ[ὲ] μὴ ἀποδιδῷ ἢ μὴ θέληι καρπεύειν, εἶναι τὰ ὑποκείμενα κ[οι]νά, καὶ τοὺς ἐπι[μ]ηνίους ἐγδιδόναι΄ τὸ δὲ τέμενος εἶναι [κο]ινὸν [κ]αὶ *v* τ[οὺ]ς ἐ̣πιμηνίους ἐγμισθοῦν, καὶ τὸ μίσθωμα καὶ τὸ ἐνη[ρό]σιον κομιζόμενοι *v* μηνὸς Ἑρμαιῶνος ἐπιμελε̣ί- *v* τωσαν ἐπὶ δύο ἡμέρας, τῶι ἱερεῖ τὰ νομιζόμε[ν]α̣ *vv* παρέχον[[τε]]ς εἰς τὰς θυσίας πάντα, τῆι μὲν πρώτηι θύειν Τύχηι Ἀγαθῆι πατρὸς καὶ μητρὸς Ποσε̣ι̣[δ]ω̣νίου κ̣ριὸν καὶ Δαίμονι Ἀγαθῶι Ποσειδωνίου καὶ Γοργίδο̣ς κριόν, τῆι δὲ δευτέραι Διῒ Πατρώϊωι κριὸν καὶ Ἀπόλλων̣ι Τελεμεσσοῦ μεδέοντι κρ[ιὸν] καὶ Μοίραις κριὸν *vvvv* καὶ Θεῶν Μητρὶ αἶγα· ὁ δὲ ἱερ[ε]ὺς <λ>αμβανέτω ἑκάστου ἱερείου κωλῆν καὶ τεταρτημ[ο]ρίδα σπλάγχνων, *v* καὶ τῶν ἄλλων ἰσόμοιρος ἔσ̣τ̣ω̣· τὰ δὲ λοιπὰ κρέα οἱ ἐπιμήνιοι, ἀφελόντες ἱκανὰ τοῖς δειπνοῦσιν καὶ *v* γυναιξίν, μερίδας ποησάντωσαν ἴσας καὶ ἀποδόντωσαν ἑκάστωι μερίδα τῶν τε παρόντων καὶ τῶν ἀπόντων· τὰς δὲ κεφαλὰς καὶ τοὺς πόδας αὐτοὶ ἐχόντων· τὰ δὲ κώιδια πωλούντων ἐν τῶι θιάσωι, καὶ τῆι δευτέραι λόγον ἀπο<δ>όντωσαν πρὸ τοῦ δείπνου ἀνα- *v* γράψαντες εἰς ὃ ἕκαστον ἀνήλωται, καὶ τὸ *v* περιγινόμενον ἀναλίσκειν εἰς ἀναθήματα̣· *v* ἀναγράψαι δὲ καὶ τὸν χρησμὸν καὶ τὴν ὑποθήκην κ[αὶ] τὸ δόγμα ἐν στήληι λιθίνηι καὶ στῆσαι ἐν τῶι *v* τεμένε̣[ι·] τοῖς δὲ ταῦτα διαφυλάσσουσιν καὶ ποιοῦ- *v* σιν ἄμεινον γίνοιτο ὑπὸ θεὸν καὶ ἄνθρωπον. *vvvv*